# PTOLEMAEUS ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΛΕΞΕΩΝ.

Ptolemaei de vocum differentiis librum in bibliotheca Ottoboniana etiam nunc servari Usenerus animadvertit. Transcripsi ego eorum commodo providens quibus rerum grammaticarum historia cordi est. Cum enim Ammonii quidem vestigia premi unusquisque intellegat, sunt tamen quae desiderantur in Ammonii exemplaribus qualia inde ab Aldi Manutii editione circumferuntur. Quae quibus fundamentis nitantur hau scimus. Quae vero ex Ptolemaei collectione accedunt neque pauca sunt neque levia. Novum accedit Isaei fragmentum, novum Anacreontis.

Litteris significo O Ottobon. gr. 43 saec. XI fol. 50[v] sqq.
„ „ V Vatican. gr. 197 saec. XVI fol. 109 sqq.
„ „ g e Gudiano quae excerpsit I. A. Fabricius, bibl. graec. IV 515 (= VI 157 ed. 4).

*Πτολεμαίου περὶ διαφορᾶς λέξεων.*

*Διαφέρει αὐχὴν καὶ δέρη· αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου, δέρη δὲ τὸ ἔμπροσθεν, καθ' ὅ ἐστιν ἡ φάρυγξ.*

*ῥὶς μὲν λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου καταγωγὴ μέχρι τοῦ χείλους· μυκτῆρες δὲ αἱ τῆς ῥινὸς κατατρήσεις, δι' ὧν ἔξεισιν τὸ ἀπομυσσόμενον.*

*ἑστιάτωρ μέν ἐστιν ὁ ἑστιῶν, δαιτυμὼν δὲ ὁ ἑστιώμενος καθὰ Πλάτων.*

*ἄρνες μὲν λέγονται οἱ νεογνοί· ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισιν· ἀρνειοὶ δὲ οἱ προήκοντες τῇ ἡλικίᾳ.*

---

2 *καὶ* om. OVg  *δέρης* g  3 *ἔμπροσθε* O  4 *φάρυξ* O, corr. man. 2  7 *τὸ ἀπομυσσόμενον* Kaibel coll. Et. M. 594, 26: *τὸ* om. OVg: *τὸ ὑγρὸν* in marg. addidisse videtur O², ubi nunc legitur *γρὸν*  *ἀπομυσσόμενον* O²: *ἀπομυσσομένων* OV: *ἀπομασσόμενον* g  9 *κατὰ Πλάτωνα* g (Tim. p. 17[a] cf. de rep. IV p. 421[b] secundum Wyttenbach. adn. ad Plut. mor. I 253 Lips.)  10 *νεωγνοι* OV (Hom. *Π* 352)  *ἔπεραον* OV  11 *προείκοντες* OV

ἀπονίψασθαι μὲν λέγουσι τὸ μετὰ τὸ φαγεῖν· κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι πρὸ τοῦ φαγεῖν [καὶ μετὰ τὸ φαγεῖν].

φεύγει μὲν δίκην ὁ κατηγορούμενος· καὶ γὰρ ὁ κατηγορῶν διώκει· ἀποφεύγει δὲ ὁ νικήσας καὶ ἀπολυθεὶς τῆς κατακρίσεως.

ἄγροικος βαρύτονον ὁ ἐν ἀγροῖς διατρίβων· ἀγροῖκος δὲ περισπώμενον ὁ μὴ ἥμερος, ἴσος τῷ ἄγριος.

ἀσφόδελος μὲν προπαροξυτόνως ἡ βοτάνη· ὀξυτόνως δὲ ὁ τόπος.

ἀμυγδαλῆ περισπώμενον τὸ δένδρον· ἀμυγδάλη παροξυτόνως ὁ καρπός.

ἀτελὲς καὶ ἀτέλεστον διαφέρειν φασίν· ἀτελὲς μὲν γάρ ἐστιν τὸ μήπω τετελεσμένον, ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι.

ἀπολογεῖσθαι τοῦ ἀπολογίζεσθαι διαφέρει· ἀπολογίζεσθαι μὲν γὰρ τὸ ἀποδιδόναι τὸν λόγον, ἀπολογεῖσθαι δὲ ἐν τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν.

ἀμφὶ περί· τὸ δὲ ἄμφις ποτὲ μὲν σημαίνει τὸ περί, ποτὲ δὲ χωρίς.

ἀντικρὺ μὲν τὸ ἐπ' εὐθείας· ἄντικρυς δὲ τὸ διαρρήδην καὶ φανερῶς [καὶ τὸ ἐπ' εὐθείας τοπικόν].

ἀκταὶ μέν εἰσιν οἱ πετρώδεις τόποι παρακείμενοι τῇ θαλάσσῃ ἀπὸ τοῦ ἄγνυσθαι τὰ κύματα ταῖς πέτραις προσαρασσόμενα· θῖνες δὲ οἱ ἀμμώδεις αἰγιαλοί.

ἀναβάτης μὲν ἵππου· ἐπιβάτης δὲ νεώς.

ἀναστῆναι μὲν τὸ ἐπὶ πρᾶξίν τινα ὁρμῆσαι· ἐγερθῆναι δὲ τὸ ἐκ κοίτης.

ἀνάμνησις καὶ ὑπόμνησις διαφέρει· ἀνάμνησις μὲν γίνεται ὅταν τις ἀφ' ἑαυτοῦ εἰς μνήμην ἔλθῃ τῶν παρελθόντων· ὑπόμνησις δὲ ὅταν ὑφ' ἑτέρου τινὸς ἐπὶ τοῦτο προαχθῇ.

---

1 λέγεται g τὸ ante φαγεῖν om. g χεῖρας g 2 καὶ — φαγεῖν eieci 5 λυθεὶς g 8 περισπόμενον g ἄγιος V ἴσος τῷ ἄγριος om. g 11 περισπωμένως g 14 μήποτε τελευμένον Vg 16 ἀπολογεῖσθαι μὲν γὰρ OVg 17 ἀπολογίζεσθαι δὲ OVg 19 σημαίνι O 22 καὶ τὸ ἐπ' εὐθείας τοπικόν a sciolo quodam introducta esse vidit Valckenaer 24 ἄγνισθαι V προσαρμοσσόμενα Vg 25 θινὸς O: θιννὸς V 26 ἐπιβάτης OV: ἀποβάτης g 31 ὑφ' g: ὑπὸ OV

ἀπαράσκευον καὶ ἀπαρασκεύαστον διαφέρει· ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ τὴν χορηγίαν ἔχων ἀπαράσκευος, ὁ δὲ δι' ἑτέρου ἀπαρασκεύαστος, οἷον οἱ μονομάχοι ἀπαρασκεύαστοι.

ἀνδραγαθία ἀνδρείας διαφέρει· ἀνδρεία μὲν γὰρ ⟨σώματος⟩ δύναμις ἐπαινουμένη· ἀνδραγαθία δὲ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν.

ἅμα καὶ ὁμοῦ διαφέρει· ἅμα μὲν γάρ ἐστιν χρονικὸν ἐπίρρημα, ὁμοῦ δὲ τοπικόν.

ἀποκήρυκτος μέν ἐστιν ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας· ἐκποίητος δὲ ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ, ᾧ λέγεται εἰσποίητος γεγονέναι.

ἄστρον μέν ἐστιν τὸ ἐκ πολλῶν ἀστέρων μεμορφωμένον ζῴδιον, οἷον Ὠρίων ἢ ἄρκτος· ἀστὴρ δὲ ὁ εἷς.

βλέπειν ἐστὶν κυρίως μὲν τὸ ὁρᾶν τι· θεᾶσθαι δὲ τὸ ὁρᾶν τι τῶν τεχνικῶς γινομένων, οἷον πάλην παγκράτιον ἢ γραφήν.

διορθοῦν μὲν καὶ ἐπὶ δοράτων καὶ ἐπὶ ὀβελίσκων καὶ ἐπὶ λόγων· ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων.

εὐθὺς ἐπὶ χρόνου καὶ ἐπὶ ὀρθοῦ, ὡς φαμὲν εὐθὺς κανών· εὐθὺ δὲ οὐκέτι ἐπὶ χρόνου, ἀλλ' ἐπὶ τοῦ ἐπ' εὐθείας, οἷον εὐθὺ χωρίον· τὸ δὲ εὐθέως ἀντὶ χρονικοῦ ἐπιρρήματος.

ἆρα καὶ ἄρα διαφέρει· ὁ μὲν γὰρ κατὰ περισπασμὸν ἀπορηματικός, ὅτε ἀποροῦντες λέγομεν, ἆρά γε τέλος ἕξει τὸ πρᾶγμα; ὁ δὲ κατὰ συστολὴν συλλογιστικός· εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἀλλὰ μὴν ἡμέρα ἐστίν, φῶς ἄρα ἐστίν.

ἐξ ὅσου μὲν χρόνου, ἐξ ὅτου δὲ ἐξ οὗ τινός.

θεατὴς μὲν Ὀλυμπίων καὶ τῶν ὁμοίων λέγεται· θεωρὸς δὲ ὁ εἰς θεοὺς πεμπόμενος.

ἰσθμὸς μέν ἐστιν γῆς στενῆς δίοδος ἑκατέρωθεν ὑπὸ θαλάσσης περιεχομένη· πορθμὸς δέ τίς ἐστιν στενὸς θαλάσσης πόρος ἑκατέρωθεν ὑπὸ γῆς περιεχόμενος.

λυχνοῦχον καὶ λαμπτῆρα τὸν νῦν φανόν· φανὸν δὲ τὴν

---

2 χωρηγίαν OV 3 μονομάχοι Fabricius: μομαχοὶ OV: μονοχοοὶ g, cf. Bekk. An. p. 1331 4 σώματος Eranio duce addidi 13 ἀστέρων correxi: ἄστρων OVg μεμορφομένων V 16 τῶν — γινομένων Ammon: τὸ — γινόμενον OV 19 ἐπανορθοῦν — λόγων om. V 22 χορίον OV: χωρίων g 34 νῦν: in marg. man. 1 νοῦν γρ. V

λαμπάδα. καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ̄, οἱ δὲ τραγικοὶ διὰ τοῦ π̄ πανόν . . .

λίβανος μὲν κοινῶς λέγεται τὸ δένδρον καὶ τὸ θυμιώμενον καὶ τὸ ὄρος· λιβανωτὸς δὲ μόνως τὸ θυμιώμενον.

μάχη μέν ἐστιν ἡ ἐν τῷ πολέμῳ ἐνέργεια· πόλεμος δὲ ὁ χρόνος καὶ ἡ παρασκευὴ ἡ πρὸς τὴν μάχην.

αἴθε καὶ ὄφελον διαφέρει· τὸ μὲν γάρ ἐστιν ἀπαρέμφατον προσώπων, τὸ δὲ ὄφελον ἐμφαίνει πρόσωπα. ἄλλως τε· τὸ μὲν αἴθε ἐστὶν ἐπίρρημα, τὸ δὲ ὄφελον ῥῆμα.

ἑτερόφθαλμος μέν ἐστιν ὁ κατὰ περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἐσχηκὼς ὡς ὁ Κύκλωψ.

τὸ μὲν οὐδέποτε καὶ ἐπὶ τοῦ παρεληλυθότος καὶ ἐπὶ τοῦ μέλλοντος λέγεται, τὸ δὲ οὐδεπώποτε ἐπὶ μόνου παρεληλυθότος, ὥστε οἱ λέγοντες οὐδεπώποτε γενήσεται σολοικίζουσιν.

σύνεργος καὶ συνεργός . . . . προπαροξύτονον ὁ τὸ αὐτὸ μετιὼν ἔργον, οἷον εἰ σύντεχνός ἐστιν.

ὅδε μὲν ἀναφορικῶς καὶ δεικτικῶς· ὁδὶ δὲ δεικτικῶς μόνον.

τιμωρεῖσθαι μὲν τὸ κολάζειν, τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

ἡ χάραξ θηλυκῶς μὲν ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμουμένων ῥάβδων· ἀρρενικῶς δὲ ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων ἀφ᾽ ὧν λέγουσι χαρακώσαντες τὸ περιφράξαντες καὶ χαρακώματα περιφράγματα.

ἐπίκουροι μέν εἰσιν οἱ τῶν πολεμουμένων βοηθοί, ὡς οἱ Λύκιοι τῶν Τρώων· σύμμαχοι δὲ οἱ τῶν πολεμούντων ὡς τοῦ Ἀγαμέμνονος Μυρμιδόνες καὶ οἱ ἄλλοι Ἕλληνες.

ὁ ἕνεκα σύνδεσμος τοῦ χάριν διαφέρει· ὁ μὲν γὰρ ἕνεκα ψιλὴν τὴν αἰτίαν δηλοῖ, οἷον ἕνεκα Ἀλεξάνδρου καὶ ἕνεκα Ἑλένης ἐστράτευσε Μενέλαος· ὁ δὲ χάριν μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν τοῦ τὸ ἔργον ποιοῦντος, οἷον χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσεν ἐπὶ Ἴλιον, τουτέστιν χαριζόμενος Μενελάῳ.

---

2 lacunam indicavi   3 λίβανος καὶ τὸ δένδρον g   4 λιβανοτὸς V   6 ἡ (ante πρὸς) om. V   8 πρόσωπον OVg: corr. Valck.   10 πηρο-θεὶς V   14 μόνου OV: τοῦ g   παρεληλυθῶτος OV   17 lac. indicavi   19 ὁδι δὲ O: οδε V et g ut videtur   23 ῥαίδων V   31 Ἑλένης Ammonius: Ἑλλήνων OVg   32 ποιοῦντο V

ἔμβαδες μὲν κωμικὰ ὑποδήματα· ἐμβάται δὲ τραγικά.

δεσπότης μὲν ὁ τῶν ἀργυρωνήτων κύριος· κύριος δὲ καὶ πατὴρ υἱοῦ καὶ γυναικός.

δικαστὴς μὲν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής· διαιτητὴς δὲ ὁ κατὰ σύμφωνον.

διφθέρα μὲν αἰγῶν· μηλωτὴ δὲ προβάτων — νάκος αἰγὸς δέρμα· κῶας δὲ προβάτων.

δαμάλης μὲν ὁ ἄρρην μόσχος· δάμαλις δὲ ἡ θήλεια· μόσχος δὲ κοινῶς ἐπ᾽ ἀμφοτέρων.

διδάξω μὲν δι᾽ ἑαυτοῦ· διδάξομαι δὲ δι᾽ ἑτέρου· οἰκοδομήσω μὲν δι᾽ ἑαυτοῦ· οἰκοδομήσασθαι δὲ δι᾽ ἑτέρου.

ὄφλημα μὲν καὶ ὀφείλημα τὸ ἐκ καταδίκης τῷ δήμῳ ὀφειλόμενον· χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

τίθησι μὲν τὸν νόμον ὁ νομοθέτης· τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι.

ἀναβάλλεσθαι μέν ἐστιν τὸ παριέναι καὶ προΐεσθαι τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεως· ὑπερτίθεσθαι δὲ τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων.

μαρτυρία καὶ ἐκμαρτυρία διαφέρει· μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων, ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων.

βασιλεὺς ὁ πατρόθεν ἀπὸ γένους τὴν ἀρχὴν παραλαμβάνων· τύραννος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ἐπιτελῶν· ἡγεμὼν δὲ ὁ τάξεως στρατιωτικῆς ἡγούμενος.

ἄβαξ καὶ ἀβάκιον διαφέρει· ἄβαξ μὲν γὰρ λέγεται ἐφ᾽ οὗ παρατιθέασι τὰ πράγματα· ἀβάκιον δὲ ἐφ᾽ οὗ ψηφίζουσιν.

παρακέκρουσται καὶ παρακέκρουται διαφέρει· τὸ μὲν γὰρ σὺν τῷ σ̄ ἐστὶν ἐνεργητικὸν καὶ σημαίνει τὸ ἐξηπάτηκε· τὸ δὲ χωρὶς τοῦ σ̄ παθητικὸν καὶ σημαίνει τὸ ἐξηπάτηται.

μνημεῖα καὶ μνήματα διαφέρει· μνημεῖα γὰρ ἔλεγον τὰ μνημόσυνα, μνήματα δὲ τοὺς τάφους.

---

1 δὲ om. Vg 2 μὲν om. g ἀργυρονήτων OV καὶ (ante πατὴρ) om. Vg 3 καὶ ἀνὴρ γυναικός legendum 4 αἱρεθεὶς Ammonius: εὑρεθεὶς OV 5 συμφωνίαν Ammon. 8 δαμάλη OVg 9 ἐπαμφότερα OV: corr. Valck. 23 πατρῶθεν OV πατρόθεν ἢ ἀπὸ γένους Ammon. 24 κοίρανος Ammon. 28 παρακεκροῦσθαι OV καὶ V: τὸ O 29 σὺν τῷ V: σὺν τὸ O

βλέφαρα καὶ βλεφαρίδες διαφέρει· βλεφαρίδες μὲν γάρ εἰσιν αἱ τρίχες αἱ ἐπὶ τῶν βλεφάρων, βλέφαρα δὲ αὐτὰ τὰ ἐπικλειόμενα δέρματα.

ἐκπολεμῶσαι καὶ ἐκπολεμῆσαι διαφέρει· ἐκπολεμῶσαι μὲν γάρ ἐστιν τὸ εἰς πόλεμον ἐμβαλεῖν· ἐκπολεμῆσαι δὲ τῷ πολέμῳ ἐξελεῖν.

κραιπάλη καὶ μέθη διαφέρει· μέθη μὲν γάρ ἐστιν ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις· κραιπάλη δὲ ἡ ἐχθεσινὴ μέθη.

ἀράχνη θηλυκῶς τὸ ὕφασμα καὶ οὐδετέρως τὸ ἀράχνιον· ἀρσενικῶς δὲ ὁ ἀράχνης τὸ ζῷον.

κόπτει μὲν τὴν θύραν ὁ ἔξωθεν· ψοφεῖ δὲ ὁ ἔνδοθεν ἐξιών.

ἄῤῥωστος ἀῤῥωστοῦντος διαφέρει· ἀῤῥωστεῖ μὲν γὰρ ὁ νοσῶν, ἄῤῥωστος δέ ἐστιν ὁ ἀδυνατῶν ἐπιτελεῖν τι κατὰ τὰς ὀρέξεις.

αὖθις καὶ αὖθι διαφέρει· τὸ μὲν γὰρ αὖθις πάλιν ἢ μετὰ ταῦτα· τὸ δὲ αὖθι ὡς αὐτόθι.

ἀποκριθῆναι μέν ἐστιν τὸ χωρισθῆναι· ἀποκρίνασθαι δὲ τὸν ἐρωτηθέντα λόγον.

βοὸς πούς ἐστιν ζῶντος, βόειος δὲ ἐπὶ νεκροῦ.

πρὸ μοίρας μὲν ἀπέθανεν ὁ βιαίως ἀποθανών· πρὸ ὥρας δὲ ὁ ἐν νεότητι.

ἐπιστεῖλαι μὲν διὰ γραμμάτων· ἐπισκῆψαι δὲ διὰ λόγων.

θέσθαι μὲν τὸ λαβεῖν ὑποθήκην· ὑποθέσθαι δὲ τὸ δοῦναι ὑποθήκην.

τὸ ἑσπέρας τοῦ ὀψὲ διαφέρει· ἑσπέρα μὲν γάρ ἐστιν δυομένου τοῦ ἡλίου, ὀψὲ δὲ βραδέως καὶ μεθ' ὁντινοῦν χρόνον. διὰ τοῦτο καὶ προστιθέασιν ὀψὲ τῆς ἡμέρας.

ἐπαγγέλλει μὲν τὸ προστάσσει· ἐπαγγέλλεται δὲ τὸ ὑπισχνεῖται· ὑπισχνεῖται μὲν ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας· ἐπαγγέλλεται δὲ ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

εὐφυὴς μὲν λέγεται παρὰ τοῖς Ἀττικοῖς ὁ σκωπτικός· εὐμαθὴς δὲ ὁ μαθεῖν ταχύς.

---

3 ἐπικλιόμενα O 6 ἐξελθεῖν g 7 τῆς ex Ammonio add. Kaibel 8 δὲ ἡ ἐχθεσινὴ O: δὲ ηχθεσινὴ V 12 κόπτειν V 13 ἀρροστοῦντος V 19 τὸ ἐρωτηθέντα λόγον δοῦναι Ammon. 21 ἀπέθαμεν O 22 δὲ ἐν νεότητι V 23 ἐπιστεῖλαι Ammonius: ἐνεπιστεῖλαι OV 26 ἑσπέρας μὲν γὰρ Kaibel 30 δώσειν corr. ex δώσιν O 31 ὁ om. V 32 σκοπτικός O

βρύκειν μὲν τὸ πρίειν τοῖς ὀδοῦσιν· βρύχειν δὲ ἐπὶ τοῦ λεόντος τὸ βρυχᾶσθαι.

ἐξελεύθερος καὶ ἀπελεύθερος διαφέρει· ἐξελευθέρους μὲν λέγουσι τοὺς διὰ χρέος προσθέτους τοῖς δανισταῖς γινομένους, ἔπειτα ἀπολυθέντας, ἀπελευθέρους δὲ συνήθως.

αἶνος καὶ παροιμία διαφέρει· ὁ μὲν γὰρ αἶνός ἐστιν λόγος κατ᾽ ἀναπόλησιν μυθικὴν ἀναφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν καί ἐστιν ἐξηπλωμένη παροιμία μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον· παροιμία δὲ † τὰ ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἐνδέουσα τοῦ αἴνου καί τι ἔξωθεν δεχομένη.

ἀνακεῖσθαι μὲν ἐπ᾽ ἀνδριάντων καὶ ἀναθημάτων λέγεται· κατακεῖσθαι δὲ ἐπ᾽ ἀνθρώπων ἐν κλίναις ὄντων.

πόλις μὲν ὁ τόπος καὶ οἱ κατοικοῦντες καὶ τὸ συναμφότερον· ἄστυ δὲ μόνον ὁ τόπος.

τήθη καὶ τηθὶς διαφέρει· τήθη μὲν γάρ ἐστιν . . . τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφή, ἣν ἔνιοι θείαν καλοῦσιν.

τιτθὴ καὶ τροφὸς καὶ τιθηνὸς διαφέρει· τιτθὴ μὲν γάρ ἐστιν ἡ μαστὸν παρεχομένη· τροφὸς δὲ καὶ τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

φίλος καὶ ἑταῖρος διαφέρει· φίλοι μὲν γὰρ κοινῶς λέγονται πάντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες, ἑταῖροι δὲ ἰδίως οἱ καὶ τὴν ἡλικίαν παραπλησίως ἔχοντες καὶ ἐν συνηθείᾳ καὶ ἐν συνεργίᾳ πολὺν χρόνον γεγονότες.

ὅσιον καὶ ἱερὸν διαφέρει· ὅσια μὲν γὰρ λέγουσιν τὰ ἰδιωτικὰ ὧν ἐφίεται προσάψασθαι· ἱερὰ δὲ τὰ τῶν θεῶν ὧν οὐκέτι ἔξεστιν προσάψασθαι.

ἕλκος χρόνιον πάθος ἐκ σιδήρου γινόμενον ἔσθ᾽ ὅτε καὶ αὐτομάτως. εἴρηται δὲ παρὰ τὸ διελκῦσθαι τὴν σάρκα· ὠτειλὴ ἡ ἐκ τοῦ σύνεγγυς ὑπὸ σιδήρου πληγή· τραῦμα δὲ ἡ ὑπὸ σιδήρου τρῶσις γινομένη· πληγὴ δὲ ἡ ἐκ χειρὸς πλῆξις.

ἐοικότα τὰ ἐμφερῆ· εἰκότα δὲ τὰ πίστεως ἐχόμενα.

---

1 βρύκειν Ammonius: βρύσκειν OV  7 καταναπολεισιν O: κατὰ ἀπόλησιν V: κατὰ ἀπόλυσιν g  11 καίτοι g  δεχομένη: δεχόμενα OV: ἐνδεχομένη g  16 lacunam indicavi  18 τιτθὴ Vg: τήθη O utrubique  23 τὰ τῆς O: ταύτης V  ἑαυτοὺς Amm.: ἑαυτῆς OV  31 ὠτιλὴ OV  34 ἐοικότα δὲ V

τὸ ἐκεῖ τοῦ ἐκεῖσε διαφέρει· τὸ μὲν γὰρ ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ· τὸ δὲ ἐκεῖσε τὸ εἰς τόπον, ὅθεν ἐροῦμεν ἐκεῖ κατέλαβον αὐτόν κἀκεῖσε πορεύομαι.

τὸ ἔνδον τοῦ ἔσω διαφέρει· τὸ μὲν γὰρ ἔνδον δηλοῖ τὸ ἐν τόπῳ, τὸ δὲ ἔσω τὸ εἰς τόπον· διόπερ δεῖ λέγειν ἔνδον ἤμην, ἔσω δὲ εἰσέρχομαι.

ἡ ἀπὸ πρόθεσις τῆς παρὰ διαφέρει· ἡ μὲν γὰρ ἀπὸ τίθεται ἐπὶ τῶν ἀψύχων, οἷον ἀπ' Ἀθηνῶν ἔρχεται, ἡ παρὰ ἐπὶ τῶν ἐμψύχων, οἷον παρὰ Σωκράτους ἔρχεται.

αἰδὼς καὶ αἰσχύνη διαφέρει· ἡ μὲν γὰρ αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον ὧν τις σεβασμίως ἔχει, αἰσχύνη δὲ ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται ὡς μὴ δέον τι πράξας· καὶ αἰδεῖται μέν τις τὸν πατέρα, αἰσχύνεται δὲ μεθύσκεσθαι.

ἐπιστραφὴς ὁ προστακτικὸς καὶ ἐπιμελής· εὐστραφὴς δὲ ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

ἐνθύμημα ποιοῦ λόγου σχῆμα· ἐνθύμιον δὲ ἐπὶ τοῦ προστροπαίου οἱ ἀρχαῖοι φασίν.

ζώνην λέγουσι τὴν τοῦ ἀνδρός· ζώνιον δὲ τὸ τῆς γυναικός.

ἡ κέδρος θηλυκῶς μὲν τὸ δένδρον, οὐδετέρως δὲ ὁ καρπός.

τὸ ἄγειν τοῦ φέρειν διαφέρει. ἄγεται μὲν γὰρ τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα.

χλαῖνα καὶ χλανὶς καὶ χλαμὺς διαφέρει· χλαῖνα λέγεται παχὺ ἐγκοίμητρον καὶ τετράγωνον, χλανὶς δέ ἐστιν τὸ φορούμενον καὶ τῇ ἐργασίᾳ μαλακώτερον, ἡ δὲ χλαμὺς Μακεδόνων ἐστὶν εὕρημα καὶ ἔχει κυκλοτερῆ τὰ κάτω.

ἀποφορὰ καὶ εἰσφορὰ διαφέρει· ἀποφορὰ μὲν γάρ ἐστιν τὸ ὑπὸ τῶν δούλων τοῖς δεσπόταις ἢ τῶν ὑπηκόων τοῖς ἄρχουσι συντελούμενον, ὅ τινες καὶ ἀναφορὰν λέγουσιν· εἰσφορὰ δέ ἐστιν τὸ ὑπὸ τῶν πολιτῶν δημοσίας ἕνεκα χρείας ἐπιδιδόμενον τῇ πόλει.

ζῆλος μίμησις καλοῦ, οἷον ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς· ζηλοτυπία δὲ τὸ ἐν μίσει ὑπάρχειν, οἷον ζηλοτυπεῖ ὅδε τήνδε.

---

9 *σωκράτης* OV    11 *σεβασμίως τις* g    17 *ποιοῦ* Ammon.: *ποῖον* OV *προστοπαίου* V    20 *κέρδος* OV    24 *παχὺν ἐνκοίμητρον* OV    28 *τὸ* add. Kaibel    29 *ἐπιτελούμενον* g    30 *τὸ* om. g    31 *ἐπιδόμενον* g    33 *δὲ* om. g *ζηλοτυπεῖ ὅδε τήνδε* g: *ζηλοτυπεῖν δε τήνδε* OV

ἡσυχάζειν τὸ ἀτρεμεῖν δι᾽ ὅλου τοῦ σώματος· σιγᾶν δὲ τὸ μὴ λαλεῖν.

στρατόπεδον μέν ἐστιν ὁ τόπος, ἐν ᾧ ἡ στρατεία· στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος· καὶ στρατεία ἐκτεταμένως λέγεται τὸ πρᾶγμα, στρατιὰ δὲ συνεσταλμένως τὸ τῶν στρατιωτῶν πλῆθος.

τὸ λαχεῖν τοῦ κληρώσασθαι διαφέρει· κληροῦνται μὲν γὰρ πάντες οἱ καθιέντες εἰς τὸν κλῆρον, λαγχάνει δὲ εἰς ὃν ἂν ὁ κλῆρος ἔλθῃ.

τὸ αἰτεῖν τοῦ αἰτεῖσθαι διαφέρει· αἰτεῖ μὲν γὰρ ὃ μηκέτι ἀποδίδωσιν, αἰτεῖται δὲ τὸ ἀποδοθησόμενον πάλιν.

διαβόητος καὶ ἐπιβόητος τἀναντία σημαίνει· διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ᾽ ἀγαθῷ παρὰ πᾶσιν ἐγνωσμένος· ἐπιβόητος δὲ ὁ μοχθηρὰν ἔχων τὴν φήμην.

ἴσθι καὶ γίνου διαφέρει, ὅτι τὸ ἴσθι σημαίνει τὸ γίνωσκε· σημαίνει δὲ καὶ τὸ γίνου.

ψέλιον καὶ ψάλιον διαφέρει· ψέλιον μὲν γάρ ἐστιν τὸ τοῖς ἄκροις βραχίοσι τῶν γυναικῶν περιτιθέμενον χρυσοῦν κόσμημα, ψάλιον δὲ τὸ τοῖς ἵπποις περιτιθέμενον ἐν τῷ στόματι.

ἐπιτίμιον καὶ ἐπίτιμον διαφέρει· ἐπιτίμιον μὲν γάρ ἐστιν ἡ ζημία, ἐπίτιμον δὲ τὸ τιμῆς μετέχον· ὥστε οὐ δεῖ λέγειν ἐξέτισε τὸ ἐπίτιμον.

πρεσβεύονται μὲν γὰρ οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες· πρεσβεύουσιν δὲ οἱ χειροτονούμενοι καὶ πεμπόμενοι ἐπὶ τὴν πρεσβείαν.

ἄγγελος καὶ ἐξάγγελος διαφέρει· ἄγγελος μὲν γὰρ λέγεται πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν, ἐξάγγελος δὲ ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων.

θὴς ὁ ἐπὶ μισθῷ δουλεύων· λάτρις δὲ ὁ κατὰ πόλεμον ἁλοὺς καὶ εἰς δουλείαν ὑπαχθείς· ἀμφίπολος κοινὸν ἄρρενος καὶ θηλείας ὄνομα δούλου· ἄτμενος δὲ οὐ μόνον δοῦλος ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

---

1 τοῦ om. g   3 στρατειᾷ O   4 καὶ στρατειᾷ O: καὶ στρατειαὶ V   5 στρατειᾷ δὲ O   6 στρατιωτῶν Ammonius: στρατειῶν OV   11 ἀποδίδοσιν OV   12 διαβόηθος g   17 ψέλλιον utrubique g   μὲν γάρ ἐστιν: τὸ g   τὸ addidi   19 ψάλλιον g   an τὸ τοῖς ἵπποις ἐμβαλλόμενον?   23 ἐξέτησε τὸ ἐπιτίμιον OV   30 λάτρης OV   31 a voce ἀμφίπολος nova lexis incipit in OV

Ἰουδαῖοι καὶ Ἰδουμαῖοι διαφέρουσιν· οἱ μὲν γὰρ Ἰουδαῖοι ἐξ ἀρχῆς, Ἰδουμαῖοι δὲ τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι ἀλλὰ Φοίνικες καὶ Σύροι.

ἀληθὲς μὲν ὀξυτόνως ἐναντίον τῷ ψεύδει· ἄληθες προπαροξυτόνως τὸ κατ' ἐπερώτησιν λεγόμενον σημαίνει τὸ ὅμως καὶ τῷ ὄντι.

ἀναγόμενοι καὶ ἀναχθέντες διαφέρει· ἀνήγοντο μὲν γὰρ οἱ πλέοντες ἀναγόμεναί τε αἱ νῆες, οὐκ ἀναχθεῖσαι, ἀνήχθησαν δέ τινες εἰς τὸ στρατηγεῖον.

κατοίκησις καὶ κατοίκισις διαφέρει· κατοίκισις μὲν γὰρ ἡ ὑφ' ἑτέρων γινομένη ἵδρυσις, κατοίκησις δὲ ὅταν αὐτοί τινες οἰκήσωσι τόπον ἢ πόλιν τινὰ καταλαβόντες κατοικήσωσιν.

κίθαριν καὶ κιθάραν διαφέρει. κίθαριν γὰρ εἶναι τὴν λύραν καὶ τοὺς χρωμένους αὐτῇ κιθαριστάς, οὓς ἡμεῖς λυρωδούς φαμεν, κιθάραν δὲ ᾗ χρῶνται οἱ κιθαρῳδοί.

ὑπαντῆσαι μὲν ἐπὶ ὁδοῦ λέγουσιν· ἀπαντῆσαι δὲ τὸ περιτυχεῖν δίκῃ, οἷον ἀπήντησε κατὰ τὴν δίκην ἀντὶ τοῦ περιέτυχεν.

κηρῦξαι μὲν καὶ ἀποκηρῦξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκα ἀποδίδοσθαί τι . . .

κύειν καὶ τίκτειν διαφέρει· κύειν μὲν γὰρ τὸ ἔγκυον εἶναι, τίκτειν δὲ τὸ ἀπαλλάσσεσθαι τοῦ κύειν.

κομᾶν τὸ γαυριᾶν ἔλεγον οἱ ἀρχαῖοι, κουριᾶν δὲ τὸ κουρᾶς δεῖσθαι.

ἀποστασίου μὲν δίκην ἔλεγον, ὅτε ἀπελεύθερος κρίνοιτο ὡς ἀποστὰς τοῦ δεσπότου, ἀπροστασίου δὲ ὁπότε μέτοικος ἐγκαλοῖτο ὡς μὴ ἔχων προστάτην.

ἀτέχνως τὸ παροξύτονον σημαίνει τὸ χωρὶς τέχνης καὶ ἀμαθῶς, τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς καὶ ἀδόλως καὶ καθ' ἅπαξ.

---

2 Ἰουδαῖοι Ammon.: Ἰδουμαῖοι OVg 4 τὸ ψεύδει V 4. 5 προπαροξυτόνως om. g γενόμενον g 6 τὸ ὄντι V 7 ἀνήγοντο Ammonius: ἀνήγαγον OV 8 νῆες Ammon.: ναῦς OV; υ in ras. O 10 κατόκησις καὶ κατοίκησις O, κατοίκισις recte V, sed corr. ex κατοίκησις, mox κατόκισις O 12 κατοικήσωσιν: κατοικήσωμεν OV 14 κίθαρις g 15 αὐτῆς OV 16 ἣν OV 18 ἀπήντησεν OV κατὰ: εις OVg, sed V in marg. man 1 γρ. κατὰ δίκην Vg: τοίχην O ἀντὶ corr. ex αὐτοῦ V: αὐτοῦ O 19 παρέτυχεν OV 21 ἀποδῶσθαι OV τι om. O lac. indicavi 24 κομᾶν καὶ κουριᾶν g 30 τίθεται ἀντὶ τοῦ Kaibel ex Ammonio: τίθενται ἂν OV

τὸ ἀτιμοῦται τοῦ ἀτιμάζεται διαφέρει· ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὁλοσχερῆ ἀτιμίαν, ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

ἄχρι χρονικὸν ἐπίρρημα· ἄχρις δὲ ἀντὶ τοῦ ἀκριβῶς.

βωμὸς μὲν καὶ ἑστία καὶ ἐσχάρα διαφέρει· βωμὸς μὲν γάρ ἐστιν ὁ ταῖς προσβάσεσιν ἐξέχων, ἐφ᾽ οὗ τοῖς οὐρανίοις θεοῖς αἱ θυσίαι ποιοῦνται, ἑστία δέ ἐστι βωμὸς περιφερὴς πρόσβασιν οὐκ ἔχων, ἐσχάρας δὲ ἔλεγον τοὺς τῶν ἡρώων βωμοὺς καὶ τὰς ἐν κοινῇ χρείᾳ· διὰ τοῦτο γοῦν τοὺς ἱκέτας ἐπὶ τὴν ἑστίαν καταφεύγειν.

γυμνασθῆναι μέν ἐστι τὸ ὑφ᾽ ἑτέρου, γυμνάσασθαι δὲ τὸ ὑφ᾽ ἑαυτοῦ.

δημόσιος μέν ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους, δημόκοινος δὲ ὁ βασανίζων.

διήγησιν μὲν καὶ ποίησιν ἔλεγον τὴν ἐν μήκει τὸ τέλειον ἔχουσαν, διήγημα δὲ καὶ ποίημα τὸ βραχύτερον.

διπλοῦν καὶ διπλάσιον διαφέρει· διπλοῦν μὲν γὰρ ἱμάτιόν φασιν, διπλάσιον δὲ ἐπὶ τῶν ἄλλων τῶν κατὰ μέγεθος ἢ πλῆθος διαφερόντων, ἢ διάστημα, οἷον διπλασίως ἔχει τοῦ τοσούτου, διπλάσιον ἀφέστηκεν ἥδε ἡ πόλις τῆσδε, οὐχὶ διπλοῦν.

δύναμις καὶ ἰσχὺς διαφέρει ὥς φησιν Πλάτων τῷ καὶ ἀπ᾽ ἐπιστήμης γίνεσθαι τὴν δύναμιν καὶ ἀπὸ μανίας καὶ ἀπὸ θυμοῦ· ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων.

ὅτι καὶ διότι διαφέρει· τὸ μὲν γὰρ διότι αἰτίαν δηλοῖ, τὸ δὲ ὅτι ὁτὲ μὲν αἰτίαν, ὁτὲ δὲ βεβαίωσιν· αὐτίκα γοῦν ὅτι μὲν ἐκλείπει πάντες ἴσμεν, διότι δὲ οὐκέτι ἀλλὰ μόνοι οἱ ἔμπειροι.

οἴκαδε τὸ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν· εἰς οἶκον δὲ καὶ ἐφ᾽ ἑτέρου.

---

1 τὸ ἀτιμοῦνται OV  ἀτιμοῦνται μὲν OV  2 γάρ τις Ammon. et Et. M. 164, 8: γὰρ (om. τις) OV  5 ἱστία OV  8 ἔλεγεν O  9 διὰ g: δὲ OV  11 δὲ om. V  13 δήμιος g  14 ὁ βασανίζων O: βασανίζων V  19 ἢ πλῆθος om. g  διπλάσιον g  20 τοῦ τοσούτου V: τοῦτος τούτου O: τοσούτου g  22 v. Plat. Protag. p. 351A τῷ scripsi: τὸ OV  24 σωμάτων Plato, Ammonius: πομάτων OV  26 αἰτίας V  27 γοῦν ὅτε OV  28 ἐκλείπει ἡ σελήνη Ammon.

πελαστὴς ὁ πρόσφυξ, πενεστὴς δὲ ὁ κατὰ πόλεμον δουλωθείς.

πλούσιος ὁ πολυούσιος, ὁ πολλὴν ἔχων οὐσίαν, εὔπορος ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας ἀνενδεής, ἀφνειὸς ὁ ἀπ' ἐνιαυτῶν τὴν οὐσίαν συλλέγων, ὄλβιος ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων, οἷον ὁλόβιος, εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

πεῖ δὲ τὴν ἐπὶ τόπῳ· πῶ δὲ τὴν ἐκ τόπου.

ῥέφανος ἣ καὶ παρ' ἡμῖν· ῥάφανος ἡ κράμβη.

δώματα μὲν κοινῶς τὰ οἰκοδομήματα· δωμάτιον δὲ τὸν θάλαμον.

κτήματα καὶ ἐπικτήματα διαφέρει· τὰ μὴ ἡμέτερα ἐπικτήματα ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ ἑαυτοῦ κτήματα ὡς ἐν οἰκείᾳ.

ἐγχρίσαι μὲν ὡς ἐπὶ σκορπίου ἢ σφηκὸς ἤ τινος τοιούτου ὅταν πατάξῃ· ἐναλεῖψαι δὲ ἐπὶ ὀφθαλμῶν.

εἰκὼν μέν ἐστιν ἐπὶ ἀνθρώπου, προτομὴ δὲ λέοντος καὶ ἵππου καὶ τῶν ἄλλων θηρίων.

ἐκκλησίαν μὲν ἔλεγον οἱ Ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν, κατάκλησιν δὲ ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν πρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

ἔνδοξος μέν ἐστιν ὁ ἐπίσημος καὶ εὐκλεής· ἐπίδοξος δὲ ὁ προσδοκώμενος καὶ ἐλπιζόμενος.

τὸ εὐφραίνεσθαι τοῦ ἥδεσθαι διαφέρει. εὐφραίνεσθαι μὲν γάρ ἐστιν μανθάνοντά τι καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ, ἥδεσθαι δὲ ἐσθίοντα ἢ ἄλλο τι ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι.

σταφυλὴ ὀξυτόνως ἡ ὀπώρα· σταφύλη δὲ βαρυτόνως ὡς Φαισύλη, ἣ δοκεῖ μία εἶναι τῶν τιθηνησαμένων τὸν Διόνυσον . . . ἐπὶ τῆς καθιεμένης μολύβδου παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται.

σημεῖον καὶ τεκμήριον διαφέρει . . . τὰ παρῳχημένα σημείοις πιστεύεσθαι, τὰ δὲ μέλλοντα τεκμηρίοις.

---

8 πεῖ Ammon.: πι O: πῆ Vg 9 ῥέφανον g 12 κτήματα g: κτῆμα OV τὰ μὴ g: τὰ μὲν OV ἐπικτήματα g: εἶναι κτῆμα OV 13. 14 ἐν οἰκείᾳ Duker: ἐνοίκια Og: ἐν οἰκίᾳ V 15 φηκὸς OV 16 πατάξει OV 29 τιθησαμένων OV 30 lac. ind. Kaibel καθημένης OV: corr. Stephanus μολίβιδος O: μολίβδος V 32 lacunae signum addidi παροχημένα OV

ἤλπισαν μὲν αὐτοί τινες ἐλπίδας ἔχοντες περί τινος· ἐπήλπισαν δὲ ἕτεροι, ἑτέρους εἰς ἐλπίδα ἤγαγον.

ἱερεῖον χρηστηρίου διαφέρει. ἱερεῖον μὲν γὰρ λέγουσι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν, χρηστήριον δὲ τὸ ἱερεῖον, ᾧ χρῶνται χρηστηριαζόμενοι.

σκῶμμα τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἷον σκέμμα· γέλοιον δὲ οἷον τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως· εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον· γεφυρισμὸς δὲ ἀπὸ τοῦ τοῖς Ἀθήνησιν ἐπὶ τῶν γεφυρῶν ... συρμούς τινας περιέχοντας.

στῆναι καὶ σταθῆναι διαφέρει. καὶ στῆναι μὲν ἐξ ἰδίας ὁρμῆς καὶ προαιρέσεως ὅπερ γίνεται τοῖς ζῴοις, σταθῆναι δὲ [ὁ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν ἀλλ'] ἐκ τῆς ἄλλου προαιρέσεως, οἷον ἔστη ἄνθρωπος δι' ἑαυτοῦ, ἐστάθη δὲ ὁ ἀνδριὰς ὑφ' ἑτέρου.

τὸ ἱππῆς τοῦ ἱππέας διαφέρει· ἱππῆς μὲν γὰρ λέγουσιν οἱ Ἀττικοὶ ἐπὶ ὀνομαστικῆς πτώσεως, ἱππέας δὲ ἐπὶ αἰτιατικῆς ἐπιτεταμένως ὁμοίως βασιλῆς καὶ βασιλέας καὶ τἆλλα προσηγορικά.

ἴσοι καὶ κοινοὶ διαφέρει. κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταὐτόν· κοινῇ μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρή, μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ, ἀλλὰ τῷ μὲν σοφωτέρῳ πλέον, τῷ δὲ ἀμαθεστέρῳ ἔλαττον.

Ἰταλιῶται μὲν λέγονται Ἕλληνες οἱ ἐν τῇ Ἰταλίᾳ, Ἰταλοὶ δὲ βάρβαροι· καὶ ὁμοίως Σικελοὶ μὲν βάρβαροι οἱ ἐν Σικελίᾳ, Σικελιῶται δὲ Ἕλληνες οἱ ἐν τῇ Σικελίᾳ.

τρίετες βαρυτόνως ἐπὶ χρόνου, διὸ καὶ ὁ ποιητὴς ὡς τρίετες· τριετὲς δὲ ὀξυτόνως τριετὲς παιδίον ὡς εὐφυές.

ὑπόσχεσις ἐπαγγελίας διέστηκεν· ὑπισχνεῖται μὲν γὰρ ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων, ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεώς τι παρέχειν βουλόμενος.

κάλλαια μὲν οἱ τῶν ἀλεκτρυόνων πώγωνες· κάλλη δὲ τὰ ἄνθη τῶν βαμμάτων.

---

7 διαλύσει O 10 lacunam indicavi διασυρμούς g 13 ὁ κατ' — ἀλλ' eieci; καθ' OV ἔστη Ammon.: ἔστιν OV 16 τοῦ scripsi: τοὺς OV ἱππεῖς g 18 βασιλεῖς g 20 Platonem in Protagora nominat auctorem [p. 337 A] Ammonius 26 Σικελιοὶ O 28 Hom. β 106 ὡς τρίετος OV 32 παρέχων g 33 καλλαῖα OV

κόρδαξ εἶδος ὀρχήσεως· ἐμμέλεια μὲν καλεῖται ἡ τραγικὴ ὄρχησις· σικιννὶς δὲ ἡ σατυρική· κόρδαξ ἡ κωμική. κάρδαξ στρατιώτης ἐκαλεῖτο, βαρβαρικὴ δὲ ἡ λέξις.

κάταγμα μὲν ἐκτεταμένως τὸ κατεαγὸς καὶ συντετριμμένον· κάταγμα δὲ βραχέως τὸ τοῦ ἐρίου ἕλκυσμα.

καταχύματα καὶ καταχύσματα διαφέρει· καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ̄ καταχεόμενα ὕδατα ἐπὶ λουτρῶν καὶ τῶν ὁμοίων, καταχύσματα δὲ σὺν τῷ σ̄ ἰσχάδες καὶ ἄλλα τραγήματα, ἃ τῶν νεωνήτων δούλων κατέχεον.

κέλης μὲν πλοιάριόν τι μικρόν· ἐπακτροκέλης δὲ κακοῦργον καὶ ληστρικὸν σκάφος μεταξὺ ἐπακτρίδος καὶ κέλητος.

κιβωτὸς μὲν ἡ ξυλίνη, δι' ὃ καὶ ἀντίπηξ καλεῖται· κίστη δὲ ἡ πλεκτή.

κλῆσις μὲν ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γινομένη· πρόκλησις δὲ ἡ εἰς Ἄρειον πάγον.

κομᾶν τὸ ἐπί τινι σεμνύνεσθαι τῶν καλῶς αὐτῷ πεπραγμένων καὶ τρέφειν κόμην· κουριᾶν δὲ τὸ κουρᾶς ἐπιδεῖσθαι καὶ κόμην καθιέναι.

κόρυδος μὲν τὸ ὄρνεον· λέγεται δὲ γῆς ἱερόν· κορύδαλος δὲ δῆμος Ἀθήνησιν ἐν ᾧ Σωτείρας κόρης ἱερόν.

κυβεύειν τὸ διὰ ψήφων ἢ ἀστραγάλων παίζειν· πεσσεύειν δὲ τὸ διὰ ψήφων.

κύπτειν μὲν λέγεται τὸ ἐπικάμπτεσθαι τῷ σώματι· κυπτάζειν δὲ τὸ στραγγεύεσθαι.

κωμῳδὸς καὶ τραγῳδὸς λέγεται ὁ χορευτὴς καὶ ὁ ὑποκριτής· κωμῳδοποιὸς καὶ τραγῳδοποιὸς ὁ ποιητής, ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

λαλεῖν καὶ λέγειν καὶ διαλέγεσθαι διαφέρει. λαλεῖν μὲν γάρ ἐστιν τὸ ἀτάκτως ἐκφέρειν τὰ ὑποπίπτοντα ῥήματα· λέγειν δὲ τὸ τεταγμένως προφέρεσθαι τὸν λόγον. διαλέγεσθαι δὲ τὸ ἀμείβεσθαι καὶ λόγον ἀντὶ λόγου ἀποδοῦναι πρὸς τὸν διαλεγόμενον. Πλάτων ἐν Σοφιστῇ· οἱ δὲ ἄλλοι φιλόσοφοι διαιροῦσιν οὕτως· λαλεῖν μὲν τοὺς ἀτάκτως ἐκ-

---

3 λέξης O  8 σὺν τὸ σ̄ O  10 χελὴς V  19 καθικέναι OV  20 κορύ δαόσμεν O  κορύδαλλός O  25 στραγγεύεσθαι Ammon.: στρατεύεσθαι OVg  27 κωμωδιοποιὸς OV  τραγωδιοποιὸς OV  33 ? cf. Plat. Theaet. p. 202c  34 οὕτως Ammonius: οὐ OV

φέροντας ὁνπεροῦν λόγον· διαλέγεσθαι καὶ λέγειν τοὺς μετ᾿ ἐπιμελείας λέγοντας, διαφοράν . . .

λῆμα μὲν δι᾿ ἑνὸς μ̄ τὸ παράστημα τῆς ψυχῆς· λῆμμα δὲ διὰ δύο μ̄ τὸ λαμβανόμενον.

λογογράφος μὲν ὁ τοὺς δικανικοὺς λόγους γράφων· λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

μακρολόγος μέν ἐστιν ὁ περὶ ὀλίγων πολλὰ λέγων· πολυλόγος δὲ ὁ περὶ πολλῶν καὶ πολλὰ λέγων.

μαχαίρας μὲν ὁμοίως ἡμῖν λέγουσιν οἱ Ἀττικοί, μαχαιρίδας δὲ τὰς τῶν κουρέων.

μινυρίζειν μὲν λέγουσι τὸ ἠρέμα προσᾴδειν, μινύρεσθαι δὲ τὸ θρηνεῖν· τὸ δ᾿ αὐτὸ καὶ κινύρεσθαι.

μόχθηρος καὶ πόνηρος προπαροξυτόνως. μοχθηρὸς ὀξυτόνως τὰ ἤθη πονηρός· λέγουσι δὲ καὶ ἁπλῶς τὰ φαῦλα καὶ μοχθηρὰ καὶ πονηρά, ὡς Θουκυδίδης πονηρὰ τὰ πραγματὰ τῶν Ἀθηναίων ἀντὶ τοῦ φαῦλα.

ναοὶ μὲν θεῶν, σηκοὶ δὲ ἡρώων.

ναύκληροι μὲν οἱ ναῦς κεκτημένοι· ναύκραροι δὲ οἱ εἰσπρασσόμενοι τὰ δημόσια κτήματα· ναυκράρια οἱ τόποι ἐν οἷς ἀνέκειτο τὰ κτήματα· ἐλέγοντο δὲ ὁμοίως ναύκληροι καὶ οἱ μισθωτοὶ τῶν συνοικιῶν.

οἰκίζεται μὲν καὶ συνοικίζεται . . . πόλις ὑπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως καὶ καθιδρύσεως, συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν συναγομένη ὑπὲρ τοῦ πλείονα δύναμιν ἔχειν, διοικίζεται δὲ ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰς καταδιαιρουμένη ὑπὸ τῶν ἐχθρῶν, ἵν᾿ ἀσθενὴς γένηται ὡς Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ Μεγάλην πόλιν διῴκισαν.

δυσπειθὴς ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον· ἀπειθὴς δὲ ὃς ἀποκρούεται καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

δοῦλοι καὶ οἱ τῶν ἡδονῶν καὶ πάντες οἱ τεταγμένοι ὑπὸ βασιλέα, οἰκέται δὲ δεσποτῶν, θεράποντες δὲ οἱ ὑποτεταγμένοι φίλοι, ὑφ᾿ ὧν θεραπεύονται οἱ προσήκοντες.

---

1 ὁνπεροῦν λέγον OV  2 deesse finem non indicant OV  5 δεκανικοὺς OV  9 οἱ Ammon.: om. OV  15 Thucyd. VII 48. 83; VIII 24. 97.  16 τοῦ Ammon.: om. OV  20 ἀνέκειτο corr. ex ἀνέκθοιτο O  22 lac. non indicant OV  27 ἵνα στενὴς V  28 διώκησαν OV  29 ὃς O: ὡς V  30 ὃς O: ὡς V

δ ι χ ό τ ο μ ο ς βαρυτόνως ὁ εἰς δύο διῃρημένος, δ ι χ ο τ ό μ ο ς δὲ παροξυτόνως ὁ εἰς δύο διαιρῶν ἐνεργητικῶς.

ο ἰ κ ό τ ρ ι ψ μὲν ὁ ἐν τῇ οἰκίᾳ τρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν, ο ἰ κ έ τ η ς δὲ καὶ δοῦλος καὶ ὠνητός.

ο ἴ ν η μὲν ἄμπελος, ο ἰ ν ά ν θ η δὲ ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις καὶ ἔκφυσις, ο ἴ ν α ρ α δὲ τὰ τῶν ἀμπέλων φύλλα.

ο ὔ κ ο υ ν παροξυτόνως μὲν τὸ καταφατικόν, ἴσον ὂν τῷ οὐχὶ οὖν οἷον οὔκουν ἀπιστεῖν, ο ὐ κ ο ῦ ν δὲ περισπωμένως σύνδεσμος συλλογιστικὸς καὶ σημαίνει ἀπόφασιν.

ὄ χ θ α ι μὲν ποταμοῦ χείλη, ὄ χ θ ο ι δὲ γῆς ἐπάρματα.

π α ι δ ε ί α π α ι δ ε ύ σ ε ω ς διαφέρει. Πλάτων ἐν Ὅροις. παιδεία μέν ἐστι δύναμις θεραπευτικὴ ψυχῆς, παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις καὶ ἐκ παιδὸς ἀγωγὴ ἐπ' ἀρετὴν ὁδηγοῦσα.

π α ι δ ί σ κ η μέν ἐστιν πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν ὡς καὶ παιδίσκος, θ ε ρ ά π α ι ν α δὲ ἡ δούλη.

π α ῖ ς μὲν καλεῖται ὁ ἐν τῇ παιδικῇ ἡλικία, ἀ ν τ ί π α ι ς δὲ ὁ ἐκβεβηκὼς τοῦ παιδὸς τὴν ἡλικίαν καὶ ἤδη πρόσηβος, β ο ύ π α ι ς δὲ ὁ μέγας παῖς.

μ ε τ α β ο λ ὴ πάθος κοινόν· καὶ γὰρ καιρῶν γίνεται καὶ πράξεων καὶ ἀφροδισίων, μ ε τ α μ ό ρ φ ω σ ι ς δὲ μορφῆς μεταχαρακτηρισμὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον χαρακτῆρα, ἀ λ λ ο ί ω σ ι ς δὲ οὐ μόνον μεταχαρακτηρισμός, ἀλλὰ καὶ τῆς πρότερον ὑπολήψεως οἴησις ἑτέρα, ἑτεροίωσις δέ, ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλλῃ.

π ρ ε σ β ύ τ η ς καὶ π ρ ο β ε β η κ ὼ ς καὶ γ έ ρ ω ν διαφέρουσιν· β ρ έ φ ο ς μὲν γάρ ἐστιν τὸ γεννηθὲν εὐθέως, π α ι δ ί ο ν δὲ τὸ τρεφόμενον ὑπὸ τῆς τιθηνοῦ, π α ι δ ά ρ ι ο ν δὲ τὸ ἤδη περιπατοῦν καὶ τῆς λέξεως ἀντεχόμενον, π α ι δ ί σ κ ο ς δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ, π α ῖ ς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων ἐρχόμενος, τὸν δὲ ἐχόμενον οἱ μὲν π ά λ η κ α,

---

6 οἰναρὰ OV  8 οἷον ex Ammon. add. Kaibel  9 ἀπόφασιν OV: κατάφασιν Valcken.  10 ὄχθη μὲν OVg  11 παιδία OV  Plato p. 416  11. 12 παιδία OV  13 παράδοσις Plato, Ammonius: om. OV  ἀγωγῆς OVg  21 μεταχαρατηρισμὸς V  23 a verbo ἀλλοίωσις nova incipit lexis OV  25 σώματος Ammon.: χρώματος OVg  μεταβάλλει g  26 διαφέρουσι V  28 παιδάριον bis g  29 παιδίσκος δὲ ὁ Kaibel ex Ammonio: παιδίσκον δὲ τὸ OV: παιδίσκον δὲ g  31 ἐρχόμενος scripsi: ἐρόμενος OVg (δυνάμενος ἰέναι Ammon.)  πάλληκα g  δὲ om. g: μὲν OV

οἱ δὲ βούπαιδα, οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον· ὁ δὲ μετὰ ταῦτα ἔφηβος, ὁ δὲ μετὰ ταῦτα μειράκιον, εἶτα μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς, ὃν καὶ ὠμογέροντα καλοῦσιν, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἐσχατόγηρως.

ἐπικήδειον τὸ ἐπὶ τῷ κήδει ποίημα, θρῆνος δὲ τὸ ἐν οἱῳδήποτε χρόνῳ.

παραβολὴ μέν ἐστιν ἡ καὶ οἷά τε γενέσθαι ἐπὶ πράγματος· ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών· παράδειγμα δὲ γεγονότος πράγματος ἀντιπαράθεσις, οἶνος καὶ Κένταυρον ἀπώλεσεν.

παρειαὶ ὀξυτόνως αἱ τοῦ ἀνθρώπου, παρεῖαι δὲ προπερισπωμένως ὄφεις τινὲς μετέωρα τὰ παρεῖα ἔχοντες.

πάσασθαι βραχέως μὲν γεύσασθαι· πάσασθαι καὶ το κτήσασθαι.

πένης μέν ἐστιν ὁ ἐκ τοῦ πονεῖν καὶ ἐργάζεσθαι ζῶν, πτωχὸς δὲ κατεπτηχὼς καὶ προσαιτῶν. ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος ὃς κατὰ ἄστυ πτωχεύεσκ' Ἰθάκης.

†ναι πλημμυρίδες τῶν ποταμῶν, πλῆμναι δὲ μετὰ τοῦ $\bar{\nu}$ αἱ τῶν τροχῶν σύριγγες.

διαπολιτεύεσθαι μὲν λέγουσι τοὺς ἐκ τῆς αὐτῆς πόλεως, ἀντιπολιτεύεσθαι δὲ τοὺς ἐξ [ἑκατέρας καὶ] ἑτέρας ἀντιστατοῦντας ἀλλήλοις.

πομπή, ἣν τοῖς θεοῖς πομπεύουσιν, πομπεία δὲ ἡ λοιδορία.

μετρεῖσθαι μέτρῳ σῖτον λαμβάνειν ἤ τι τῶν τοιούτων ἐν δάνει, ἵνα ἀποδῷ τις· χρήσασθαι δὲ ἔλεγον ἱμάτιον ἢ σκεῦος.

νεαρὸν νεωστὶ ὕδωρ ἐνεχθέν· ἔγκειται γὰρ τὸ ἀρύειν, πρόσφατον δὲ τὸ κρέας, πεποίηται γὰρ ἀπὸ τοῦ φάσαι, ὅ ἐστι φονεῦσαι, ὅθεν καὶ φάσγανον, νεαλὲς δὲ τὸ νεωστὶ

6 ἐσχατόγηρος OV : ἐσχατογέρως g 7 ἐπικήδειον g: ἐπικήδιον OV κήδειν OV ἐν ᾠδῇ ποτε V 9 παρόντος adde ante πράγματος. Hom. Γ 33 11 Hom. φ 295 οἷον ὡς καὶ V: οἷον ὼσζ O 13 παριαί OV 18 καταπεπτωκὼς g 19 Hom. σ 1 ἴθάκην OVg 20 ναι om. g πλημυρίδες O: πλημμυρίδ' V 21 τροχῶν g: τριχῶν OV 22 λέγουσιν OV 23 ἀντιπολητεύεσθαι O, cf. Dindorf Thes. ling. gr. v. ἀντιπολιτεύομαι 26 μέτρῳ σῖτον Kaibel: μετρῶσι τὸν OV ἤτι O: ἤτοι V 29 νεοστὶ OV 30 ἀπὸ Kaibel ex Ammonio: ἀντὶ OV φᾶσαι OV 31 τὸ νεοστὶ O: τὸν νεοστὶ V

ἑαλωκὸς οἷον ἰχθύς· δύναται δὲ καὶ τὸ νεωστὶ ἁλὶ πεπασμένον.

νῆες αἱ στρογγύλαι, πλοῖα δὲ τὰ κωπήρη καὶ στρατιωτικὰ καθὼς Ἀριστοτέλης.

προτέρα ἐπὶ τάξεως, προτεραία δὲ ἐπὶ ἡμέρας μόνης.

ἐπὶ ἀνθρώπου ῥίς, ῥύγχος ἐπὶ ἀλόγου ζῴου.

πρυτανεῖα τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων δίκην. ἦν δὲ ταῦτα ἐπιδέκατα τοῦ τιμήματος τῆς δίκης· πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος· διῄρητο γὰρ παρὰ τοῖς Ἀθηναίοις ὁ χρόνος εἰς ιβ̄ πρυτανείας, ὅσαι καὶ φυλαὶ ἦσαν.

πρῶτος μὲν ἐπὶ πολλῶν, πρότερος δὲ ἐπὶ δύο· καὶ τῷ πρώτῳ μὲν ἀκόλουθός ἐστιν ὁ ὕστατος, τὸ δὲ πρότερος ἐπὶ τάξεως· πρῶτος ἐπὶ ἀγάλματος, οἷον πρώτως ἔχειν φασὶ τῇ τέχνῃ, οἷον ἐξόχως. Πλάτων γοῦν ὁ φιλόσοφος διαιρούμενος τὰς πολιτείας τὴν μὲν πρώτως ἔχειν φησίν, τὴν δὲ δευτέρως, δῆλον ὅτι ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. εἰ δέ τις εἴποι πρώτως ἦλθεν εἰς Ἀθήνας, ἁμαρτάνει· ἐχρῆν γὰρ εἰπεῖν πρῶτον.

... Νηρηΐδας καὶ Νηρέως θυγατέρας ... καὶ οὔσας γνησίας αὐτοῦ θυγατέρας. τὰς ἐξ ἄλλων κοινότερον Νηρηΐδας καλεῖσθαι· ὁμοίως καὶ ἐν τοῖς περὶ Εὐρώπης.

ξόανον τὸ ἐξεσμένον λίθινον ἢ ἐλεφάντινον, βρέτας δὲ τὸ βροτῷ ὅμοιον ἤτοι χάλκεον ἢ ἐκ γένους ἐμφεροῦς ὕλης πεποιημένον, ἄγαλμα δὲ τὸ Πάριον ἢ καὶ ἐκ τινος ἑτέρου λίθου κατεσκευασμένον.

οἰκεῖοι οἱ κατ' ἐπιγαμίαν προσήκοντες, οἰκῆες δὲ πάντες οἱ ἐν τῇ αὐτῇ οἰκίᾳ δοῦλοι καὶ ἐλεύθεροι.

ὀλίγον ἐπ' ἀριθμοῦ, τὸ δὲ μικρὸν ἐπὶ μεγέθους.

ὄρθρος ἡ πρὸ ἀνατολῆς ἡλίου ὥρα, καθ' ἣν ἐξ ὕπνου ἀναστὰς ... πρωΐ δὲ τὸ πρὸ τοῦ καθήκοντος καιροῦ.

---

1 *νεωστὶ* ex Amm. add. Kaibel 4 Aristot. ps. frg. 562 Rose 5 *πρότερα* OV *προτεραῖα* OV 7 *πρυτανεῖα* eqs. non distinguit ab iis quae praecedunt O 12 *ἐστι πολλῶν* O *τῷ*: *τὸ* OV 13 *πρώτῳ* Ammon.: *πρῶτος* OV *τὸ δὲ πρότερος πρῶτον* OV 14 *πρώτως ἐπὶ* OV *τὴν μὲν*: *τῶν μὲν* OV 15 *ἔχει φησὶ* OV 16 *πολητίας* O 18 post *εἴποι* habet *πρώτ̄* O: *πρώτως* Vg *ἦλθον* g 20 lacunas indicavi 23. 24 *τῶν βροτῶν* V 25 *Πάρειον* g *ἐκ* addidi sec. Ammonium 31 lac. indicavi *προΐ* OV

ὀψέ· μετὰ πολὺ τῆς δύσεως καὶ καθόλου τὸ μετὰ πολὺν χρόνον· ὀψὲ δέ μιν μετέειπε· ὅθεν καὶ ὀψαρότης ὁ μετὰ πολὺ τοῦ καθήκοντος χρόνου ... ἑσπέρα δὲ ἡ μετὰ δύσιν τοῦ ἡλίου ὥρα, ὅτε εἰς πέρας ἦλθεν ἡ ἡμέρα δύνοντος ἡλίου.

οὕνεκα σημαίνει τὸ ὅτι, εἵνεκα χάριν.

παρέχειν τὰ διὰ χειρῶν διδόμενα, οἷον ἐσθῆτα ἐκπώματα, παρέχεσθαι δὲ ἐπὶ τῶν τῆς ψυχῆς διαθέσεων, οἷον προθυμίαν εὔνοιαν.

πηδάλιον νηός, πλήθριον δὲ σχεδίας.

Πυθὼν ὀξυτόνως μὲν ὁ τόπος καὶ θηλυκῶς, βαρυτόνως δὲ καὶ ἀρρενικῶς ὁ δράκων.

ῥοιὰ μὲν σὺν τῷ ῑ τὸ δένδρον, ῥοὰ δὲ ὁ καρπός.

ῥόδον μὲν τὸ ἄνθος, ῥοδῆ δὲ τὸ φυτόν.

στάχυς βραχέως τὸ ἑνικόν, ἐκτεταμένως τὸ πληθυντικόν.

σχισταὶ τὰ ὑποδήματα. σχιστὰς ἐνεργεῖν· σχιστὸς δὲ ἀρρενικῶς χιτὼν γυναικεῖος.

τάλαν τὸ ἐπίρρημα, τάλας ὁ ταλαίπωρος.

τείχη μὲν τὰ τῶν πόλεων, τειχία δὲ τὰ τῶν οἰκιῶν.

τέτραχμον μὲν τὸ νόμισμα Ἀττικοὶ λέγουσιν· τετράδραχμον δὲ τῶν Δ̄ δραχμῶν.

φάκελος φορτίον ξύλων, σφάκελος σπασμὸς μετὰ φλεγμονῆς.

φάσκωλος ἱματιοφορίς, φασκώλιον δερμάτιον.

φράσον τὸ εἰπέ, φράσαι ἀντὶ τοῦ διανοήθητι. σὺ δὲ φράσαι εἴ με σαώσεις.

χιτώνιον τὸ τῆς γυναικὸς ἔνδυμα· ἐστὶ δὲ τοῦτο λεπτόν· χιτὼν δὲ καὶ χιτωνίσκος ὁ τοῦ ἀνδρός.

χορηγεῖον τὸ διδασκαλεῖον καὶ χορηγὸς ὁ διδάσκαλος· χορὸς δὲ τὸ σύστημα τῶν παίδων καὶ τῶν ᾀδόντων.

---

2 cf. Hom. *Η* 399 3 lac. indicavi 4 ἡ (ante ἡμέρα) om. g 7 *παρέχειν* in fine praecedentis glossae OV *ἐκπομάζειν* OV 9 *προθυμεῖσθαι* OV 10 *γιηδάλιον* OV *πλήθριον* Ammon.: *πλέθριον* OV 13 *ῥοῖαι* OV: *ροιαὶ* g 14 non distincta ab iis quae praecedunt OV 16 cum iis coniuncta quae praecedunt OV *ἐνεγκεῖν* OVg 18 *ταλέπωρος* V 19 *πολεμίων* OV *τειχεῖα* OV 22 *φορτίων* O *σφάκελος*: *φάκελος* OV *ἐπασμὸς* OV 24 *φάσκαλος* et *φασκάλιον* OV *ἱματιοφορία* V 25 a praecedentibus non distinguunt OV *τοῦ* om. OV Hom. *Α* 83 27 *χιτόνιον* V *ἔστιν* OV 29 *χορήγιον τὸ διδασκάλιον* OV

πλῆθος σύστημά τινων, ὄχλος δὲ κυρίως ἡ ὄχλησις.

πῆ καὶ ποῖ εἰς τόπον, πῆ ἔβη Ἀνδρομάχη, ποῦ δ' ἐν τόπῳ· ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα, ὥστε ἁμαρτάνουσιν οἱ λέγοντες ποῦ πορεύῃ.

πολεμικὸς ὁ ἔμπειρος πολέμων, αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

χύτραι καὶ αὐτὰ τὰ σκεύη καὶ χυτροπώλια ὃ ἔλεγον, χυτρεῖα δὲ τὰ τῶν χυτρῶν ὄστρακα.

ὥρα δασέως μὲν ἡ τοῦ ἔτους καὶ τῆς ἡμέρας καὶ ἡ τοῦ σώματος, ὤρα δὲ ψιλῶς ἡ φροντίς.

ἀγχιστεῖς μὲν γάρ εἰσιν οἷς, ἐπειδάν τις ἐκ τοῦ γένους ἀποθάνῃ, συγχωρήσει ὁ νόμος ἀντιποιεῖσθαι τῶν τούτου δικαίων, συγγενεῖς δέ εἰσιν οἱ ὄντες ἐκ τοῦ αὐτοῦ γένους, οὐ καλούμενοι δὲ ὑπὸ τῶν νόμων ἐπὶ τἄγχιστα δίκαια, οἰκεῖοι δὲ οἱ κατ' ἐπιγαμίαν ἐπιμιχθέντες τῷ οἴκῳ.

σπονδαὶ καὶ συνθῆκαι διαφέρουσιν· σπονδαὶ μὲν γάρ εἰσιν ἃς ἐκ πολέμου συντίθενται πρὸς ἀλλήλους ἀναγράφοντες, ἐφ' οἷς διακρίνονται συντιθέμενοι μὴ πολεμήσειν μηδὲ ἀδικήσειν ἀλλήλους· συντίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους καὶ τὸ παρὰ ταῦτας πραχθὲν ἀρχὴ γίνεται πολέμου· ἀνοχὰς δὲ λέγουσιν τὰς ἐν πολέμῳ διά τινα χρείαν ἀναβολὰς τῆς μάχης κατὰ συνθήκην κοινὴν τοῦ μὴ ἐπιέναι ἀλλήλοις· ἐπικηρυκία δέ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπωσι τοὺς αἰτησομένους ἀνοχὰς καὶ σπονδὰς ἢ εἰρήνην.

ἀπελεύθερος μέν ἐστιν ὁ ἐκ δούλου ἠλευθερωμένος, ἐξελεύθερος δὲ ὁ γενόμενος διὰ χρέα προσήλυτος ἢ κατ' ἄλλην τινὰ αἰτίαν δουλεύσας εἶτα ἐλευθερωθείς· ἤδη μέντοι καὶ ἀδιαφόρως χρῶνται τοῖς ὀνόμασιν.

ἀμφότεροι καὶ ἑκάτεροι διαφέρει. ἀμφότεροι μὲν γὰρ ἐροῦμεν, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν· ἀμφότεροι τὴν δοκὸν μίαν οὖσαν φέρουσιν· ἑκάτεροι δὲ ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ, οἷον ἑκάτερος αὐτῶν δόκον φέρει, ὅταν ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ' ἰδίαν.

---

2 a praecedentibus non distincta OV   Hom. *Z* 377   3 *K* 406   7 8. *χυτρία* OV   11 *ἀγχιστεῖς*: *γ* a man. 2 add. O   17 *ἀλλήλους* Ammon.: *ἀλλήλας* OV   19 *δὲ* ex Ammon. add.   23 *ἐπεῖναι* OV   *ἀλλήλους* V   26 *προσβλητὸς* OV   30 *αὐτῷ*: *οὕτω* OV   *αὐτὸ* V: *αὐτῷ* O   31 *τὴν* O: *τὴ* V   32 *πράττει* OV   33 *ἑκάτεροι* OV   *αὐτῶν* om. V

ὑποψία ὑφοράσεως διαφέρει· ὑποψία μέν ἐστιν κακοῦ τινὸς ὑπόνοια, ὑφόρασις δὲ δόξα ἐπὶ τὸ χεῖρον.

φιλεῖν μὲν τὸ ἀγαπᾶν καὶ ξενίζειν, κυνεῖν τοῖς χείλεσιν ἀσπάζεσθαι.

χροῦς καὶ χρῶς διαφέρει· χροῦς μὲν γὰρ ἡ χροιὰ καὶ τὸ χρῶμα τῆς γαστρός· φαμὲν οὖν εὔχρουν καὶ ἄχρουν· χρῶς δὲ τὸ σῶμα.

ψάμμον καὶ ἄμαθον διαφέρει· ψάμμον εἶναι θαλάσσιον ἄμμον, ἄμαθον δὲ τὴν κόνιν· τύχε γὰρ ἀμάθοιο βαθείης.

ὠνήσασθαι μὲν τὸ πρίασθαί τι τῶν πωλουμένων· ἀγοράσαι δὲ τὸ ἐν ἀγορᾷ διατρίψαι.

ἀδεὴς μὲν ἄφοβος, ἀδαιὴς δὲ διὰ τοῦ $\overline{\alpha\iota}$ ἀμαθής.

ἀναλγὴς μὲν ὁ μὴ ἀλγῶν, ἀνάλγητος δὲ ὁ ἀνεπίστρεπτος τοῦ καθήκοντος.

περιμάξαι καὶ ἐκμάξαι τὸ τοὺς οἰομένους πεφαρμάχθαι δι᾽ ἐπῳδῶν καὶ καθαρμῶν προσποιεῖσθαι ἀπολύειν.

ἁλοᾶν μὲν δασέως τὸ ἐπὶ τῆς ἅλω πατεῖν . . .

ἄττα ψιλούμενον σημαίνει τὸ τινά, δασυνόμενον δὲ τὸ ἅτινα.

ἀποδρᾶναι καὶ ἀποφυγεῖν διαφέρει· ἀποδρᾶναι μὲν γάρ ἐστι τὸ ἀναχωρήσαντά τινα ἄδηλον εἶναι ὅπου ἐστίν, ἀποφυγεῖν δὲ τὸ μὴ δύνασθαι ἔτι ληφθῆναι.

μέτοικος καὶ ἰσοτελὴς διαφέρει· μέτοικος μὲν γάρ ἐστιν ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ πατρίδος καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον· ἐτέλει δὲ ὁ μέτοικος κατ᾽ ἐνιαυτόν. ἰσοτελὴς δέ ἐστιν μέτοικος τετιμημένος ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις καὶ τὸ μετοίκιον μὴ τελῶν· πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις πλὴν τοῦ ἄρχειν.

βιοῦν καὶ ζῆν διαφέρει· βιοῦν γὰρ ἐπὶ ἀνθρώπων μόνον λέγεται, ζῆν δὲ ἐπί τε ἀνθρώπων καὶ ἀλόγων ζῴων, ἤδη δέ ποτε καὶ ἐπὶ φυτῶν. ζωὴ μὲν γὰρ λέγεται εἶναι χρῆσις ψυχῆς, βίος δὲ λογικὴ ζωή.

βεβλῆσθαι μὲν τὸ ἐκ βολῆς τετρῶσθαι καὶ ἐκ τῶν ἐναν-

---

8 ψάμον utrubique OV  9 Hom. E 587  11 πριάσασθαι OV  13 ἀδαιής: ἀδῆς OV  τοῦ: ὁ γρ. in marg. V  $\overline{\alpha\iota}$ addidi  18 ἀλωὰν OV  lac. indicavi  19 ψελούμενον V  30 βιοῦν καὶ ζῆν διαφέρει a prima ut videtur manu in marg. O  33 λογικὴ: ὀλίγη OV  34 ἐκ: κ supra lin. add. man. 2 O

τίων, οὐτᾶσθαι δὲ τὸ ἐκ χειρὸς τετρῶσθαι. βεβλῆσθαι δὲ τὸ τὴν βουλὴν ἠπορῆσθαι καὶ οἷον πεπλῆχθαι ὑπὸ δυσθυμίας.

βάραθρος μὲν ὁ βαράθρου ἄξιος ἄνθρωπος, βάραθρον δὲ ὄρυγμά τι Ἀθήνησιν, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον, ὥσπερ οἱ Λακεδαιμόνιοι τοὺς καταδικαζομένους ἐνέβαλλον εἰς τὸν Κεάδα.

γέλοιος μὲν ὡς μέτοικος ὁ καταγέλαστος, γελοῖος δὲ ὡς ἀλλοῖος ὁ γελωτοποιός.

δὲ σύνδεσμος συμπλεκτικός, δαὶ ἐκτεταμένως σύνδεσμος ἐρωτηματικός· τίς δαὶ τίς δὲ ὅμιλος ὅδ' ἔπλετο.

θύρα τὸ ἐκ τῶν σανίδων, θύραι τὸ ἄνοιγμα αὐτὸ καὶ χάλασμα τῆς θύρας.

κομιδῇ μὲν περισπωμένως ἐπίρρημα σημαῖνον τὸ παντελῶς· κομιδὴ δ' ὀξυτόνως ὄνομά ἐστι καὶ σημαίνει τὴν ἐπιμέλειαν, οἷον οὐ σφῶιν κομιδή· λέγεται δὲ καὶ ἡ ἀπόληψίς τινος κομιδὴ παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

λεία διὰ μὲν τοῦ ε̄ γραφόμενον σημαίνει τὴν ἀπελασίαν τῶν τετραπόδων. ληΐδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλήν· διὰ δὲ τοῦ ῑ γραφόμενον ἐπίρρημά ἐστιν ἐπιτάσεως δηλωτικόν . . . ἐάν τε συστέλληται ὡς παρὰ Ἀνακρέοντι λίην δὲ δειλιάζεις.

πολίτης πατριώτου διαφέρει· πολίτης μὲν γὰρ λέγεταί τινος ὁ ἐκ τῆς αὐτῆς πόλεως ἐλεύθερος ἐλευθέρου, πατριώτης δὲ ὁ τῆς αὐτῆς χώρας δοῦλος δούλῳ· ἡ γὰρ πατρὶς καὶ ἐπὶ τῆς χώρας λέγεται· τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

---

1 *οὐτᾶσθαι* V: *οὐτάσα θαι* cum spatio unius litt. O *δὲ* om. O 6 *ἐνέβαλον* V 7 *κεάδα* V: *κέλταν* O, sed in marg. man. 2: *κεάδα* 10 *ἐκταμένως* OV 11 *ἐρωματικός* OV *τις δ' αιστος· δαιόμιλος* OV Hom. α 225 12 *ἄνυγμα* OV 14 *περισπομένως* V 15 *δ'* om. OV 16 *σφῶν* VA v. Hom. Ψ 411 *ὀπόληψις* V: *πολη* scripsit man. 2, spatio relicto a man. 1 O; eadem eodem modo λ verbi *ἀπολαβεῖν* 17 *μίσασθαι* OV 20 Hom. Λ 677 *παιδίου* OV *συνηλασσαμένη λίθα* OV 22 intercidisse *ἐάν τε ἐκτείνηται* indicavi 23 *δηλιάζεις* OV 25 *ὁ*: *ἡ* OV 26 Hom. B 453 28 *γενετη ἐνεεσθαι* O: *γενετη ἢ νέεσθαι* V *ἐν νηύσι γλαφυρῇ* O: *ἐν νήῃσι γλαφυρῇσι* V *φίλην — γαῖαν* om. O add. V (*γείαν*) sed ante *ἐννήῃσι* 29 *οὖν* Kaibel

χρῆναι δεῖν. Ἴσαιος πρὸς Τληπόλεμον· ἐπειδὴ γοῦν οὐκ ἐδόκει χρῆναι πλέον δανείζεσθαι. χρὴ δεῖ, ἐχρῆν ἔδει.

χολάδες μὲν τὰ ἔντερα· χύντο χαμαὶ χολάδες· χόλικες δὲ αἱ τῶν βοῶν κοιλίαι· Ἀριστοφάνης Βαβυλωνίοις· ἢ βοϊδαρίων τις ἀπέκτεινε ζεῦγος χολικῶν ἐπιθυμῶν.

φαυλία μέν εἶ⟨δος . . .

φριμάττεσθαι μὲν τὸν τράγον φαμὲν καὶ φριμαγμὸς ἡ τοῦ τράγου φωνὴ ὥσπερ πταρνυμένου· φρυάττεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα καὶ γαυρούμενον.

καθαρίζειν μὲν λέγουσιν οἱ Ἀττικοὶ τὸ τρέμειν, τονθορύζειν δὲ τὸ ψιθυρίζειν καὶ γογγύζειν.

ἔρως μὲν τῶν παρόντων λέγεται, πόθος δὲ τῶν ἀπόντων.

ἄρχειν καὶ κρατεῖν διαφέρει· ἄρχειν μὲν γάρ ἐστιν τὸ τινῶν ἐπ' ὠφελείᾳ προΐστασθαι, κρατεῖν δὲ τὸ βίᾳ τινὰς ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ, καθὸ καὶ τῶν θηρίων κρατεῖν τις ἀλλ' οὐκ ἄρχειν λέγεται.

ἀστεῖος ὁ πιθανὸς καὶ χαρίεις ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ, ἀστικὸς δὲ ὁ ἐν ἄστει διατρίβων.

ἱστοδόκη μὲν γάρ ἐστιν, ἐφ' ἧς ὁ ἱστὸς κατακλίνεται· Ὅμηρος ἱστὸν δ' ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες. ἱστοπέδη δὲ ἐν μέσῃ τῇ νηὶ κοῖλος τόπος, ὅντινες ληνίδα καλοῦσιν, εἰς ὃν ἐντίθεται ὁ ἱστός· ἀλλά με δεσμῷ δῆσαν ἐν ἀργαλέῳ, ὄφρ' ἔμπεδον αὐτόθι μίμνω ὀρθὸν ἐν ἱστοπέδῃ.

---

1 *χρῆνα* O: *χρῆν* V 2 *δανίζεσθαι* OV 3 Hom. *Δ* 526 4 *βοιαδαρίων* OV 5 *ἀπέκτεινε* V: *ἀποκτειν* O; a manu 2 supra *ν* additus hamulus, quo *ἀποκτείνας* effecisse videtur 6 *φαύλια μένει* OV in fine praecedentis glossae: distinxit Kaibel 7 *φρίττεσθαι* OV *φριγμὸς* OV 9 *τὸν φυσῶντα* V: *τῶν φυσιον.ϊα* O 10 *τανθαρύζειν* Valckenaer: *κανθαρίζειν* Ammon. 17 *πειθανὸς* OV *χαριῆς* OV 19 *ἱστοδόκη — δ' ἱστοδόκῃ* om. O Hom. *Α* 434 20 *δὲ* om. V 21 *ἐμμέσῃ* O *τῆς* eraso *ς* V 22 *εἰς ὃν* V: *ἴσον* O; corr. man. 2 in margine *ὁ ἱστὸς ἐντίθεται* V Hom. *μ* 160.

Hamburgi. G. HEYLBUT.